www.tezaurliturgic.ro

+

# ΠΛΗΡΗΣ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΙΑΚΩΒΟΥ ΤΟΥ ΑΔΕΛΦΟΘΕΟΥ, ΠΡΩΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

*(Οὗ ἡ μνήμη τῇ κγ΄ Ὀκτωβρίου)*

* 2008 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



## ΤΗ ΚΓ΄ ΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ

Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος καὶ Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου.

***

### ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια τρία, δευτεροῦντες τὸ α΄.*
*Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Ἀισματικοῖς ἐγκωμίοις,
τὸν Ἀδελφόθεον,
αἰνέσωμεν συμφώνως,
φιλεόρτων οἱ δῆμοι,
ἐπέστη γὰρ τῇ μνήμῃ τῇ ἑαυτοῦ,
ἑστιάτωρ λαμπρότατος,
καὶ τοῖς ἰδίοις χαρίσμασιν ἑστιᾷ,
τοὺς αὐτὸν πιστῶς γεραίροντας.*(δίς)*

Τοῦ νοητοῦ ἐν τῷ κόσμῳ,
Ἡλίου λάμψαντος,
Λόγου τοῦ Θεανθρώπου,
ἀδελφὸς σὺ ἐδείχθης,
Ἰάκωβε θεόφρον,
καὶ τῶν αὐτοῦ,
θεουργῶν ἐπιλάμψεων,
ἀντανακλάσεις δεξάμενος σῇ ψυχῇ,
καθωράθης ἄλλος ἥλιος.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Συνοδοιπόρος ἐγένου,
Χριστοῦ Ἰάκωβε,
καὶ τῆς Μητρὸς τῆς τούτου,
παιδοκτόνον Ἡρώδην,
φευγόντων,
καὶ σὺν τούτοις κακοπαθεῖς,
ἐν Αἰγύπτῳ, Θεάδελφε,
ὅθεν καὶ δόξης τῆς τούτων ἐν οὐρανοῖς,
κληρονόμος ὤφθης ἔνδοξε.

*Δόξα. Ἦχος πλ.δ'.*

Τῇ κατὰ χάριν ἱερωσύνῃ,
τῆς κατὰ νόμον ἱερωσύνης,
τὰ σύμβολα ἐν σεαυτῷ ἑνώσας, ἱεράρχα Ἰάκωβε,
τὴν παλαιὰν Διαθήκην τῇ Καινῇ ἀπέδειξας σύμφωνον·
φορῶν γὰρ τὸ νομικὸν πέταλον,
ἐν ᾧ τὸ τετραγράμματον ὄνομα τοῦ Θεοῦ ἐγκεκόλαπτο,
τὴν μυστικὴν τῆς χάριτος ζωοθυσίαν φρικτῶς ἱερούργησας,
καὶ νῦν ἐν οὐρανοῖς ἀμέσως λειτουργῶν τῷ τελετάρχῃ Χριστῷ,
δι᾽ ἀκραιφνοῦς καὶ ἀΰλου νοήσεως,
πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Δέσποινα πρόσδεξαι.*

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

*Στιχηρὰ προσόμοια. Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ἅρμα φωτοειδές,
τῆς Χάριτος ἐδείχθης,
καὶ ἵππος συνταράσσων,
θάλασσαν ἀπιστίας,
Ἰάκωβε θεσπέσιε.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ…*

Ἄρχων ὑπὸ Χριστοῦ,
ψαλμικῶς κατεστάθης,
ἐπὶ Σιὼν τὸ ὄρος,
προστάγματα Κυρίου,
ἀγγέλων Ἀδελφόθεε.

*Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ…*

Ὤφθη σοι ὁ Χριστός,
Ἰάκωβε θεόφρον,
μετὰ τὸ ἀναστῆναι,
τιμῶν ὡς ἀδελφόν σε,
καθάπερ Παῦλος φθέγγεται.

*Δόξα. Καὶ νῦν, ὅμοιον.*

Δέσποινα ἀγαθή,
συνάμα Ἰακώβῳ,
καὶ πᾶσι τοῖς Ἁγίοις,
τὸν σὸν Υἱὸν δυσώπει,
σωθῆναι τοὺς ὑμνοῦντάς σε.

*Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.*

*Ἀπολυτίκιον. Ἦχος δ΄.*

Ὡς τοῦ Κυρίου μαθητής, ἀνεδέξω, Δίκαιε, τὸ Εὐαγγέλιον,
ὡς Μάρτυς ἔχεις τὸ ἀπαράτρεπτον,
τὴν παῤῥησίαν ὡς Ἀδελφόθεος,
τὸ πρεσβεύειν ὡς ἱεράρχης.
Πρέσβευε Χριστῷ τῷ Θεῷ,
σωθῆναι τὰς ψυχὰς ἡμῶν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

*Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ καὶ ψάλλομεν τὰ ἀκόλουθα γʹ προσόμοια.*
*Ἦχος δʹ. Ἔδωκας σημείωσιν.*

Δεῦτε τὸ μνημόσυνον,
τοῦ θεαδέλφου τιμήσωμεν,
ἱερῶς οἱ θεόφρονες·
ζυγὸν γὰρ δεξάμενος,
τοῦ Χριστοῦ προθύμως,
τοῦ Εὐαγγελίου,
τῆς ἀγαθότητος αὐτοῦ,
καὶ βασιλείας κήρυξ γεγένηται,
καὶ τούτου τὴν ἀνέκφραστον,
οἰκονομίαν πιστεύεται.
Δι᾽ αὐτοῦ Παντοδύναμε,
ἱλασμὸν ἡμῖν δώρησαι.

Πάντα περιήχησε,
τῆς οἰκουμένης τὰ πέρατα,
τῶν ῥημάτων ὁ φθόγγος σου,
δι᾽ ὧν φωτιζόμεθα,
ἀρετῆς ἐνθέου,
πρὸς πᾶσαν ἰδέαν,
καὶ ὁδηγούμεθα πιστῶς,
πρὸς τῆς Τριάδος θείαν ἐπίγνωσιν·
διὸ ἐκδυσωποῦμέν σε,
ὡς Ἱεράρχης ἱκέτευε,
Ἰησοῦν τὸν φιλάνθρωπον,
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πόῤῥωθεν προβλέπων σου,
τὴν πολιτείαν, Ἰάκωβε,
ἀδελφὸν σε προσήκατο,
Χριστὸς ὁ φιλάνθρωπος,
ὁ σοφὸς προγνώστης,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἱεροσολύμων,
ἱεροφάντορα πιστόν,
καὶ ποιμενάρχην προχειρισάμενος,
καὶ μύστην τὰ ἀπόῤῥητα,
ἱερουργοῦντα μυστήρια,
Ὃν καὶ νῦν καθικέτευε,
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*ἕτερα στιχηρὰ προσόμοια.*
*Ἦχος πλ. δ΄. Κύριε, εἰ καὶ κριτηρίῳ.*

Κύριε, εἰ καὶ πτερυγίῳ παρέστη,
τοῦ ἱεροῦ ὁ Ἰάκωβος,
ἀλλὰ παῤῥησίᾳ λαλήσας,
Θεὸν Λόγον σε ἐκήρυξε,
Δημιουργὸν τοῦ παντός,
κόσμῳ ἐπιδημήσαντα·
οὗ ταῖς πρεσβείαις καὶ νῦν παράσχου,
τὸν φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν.
Κύριε, εἰ καὶ ἐν τῷ ξύλῳ ἡ κάρα,
τοῦ Ἀποστόλου συντέτριπται,
ἀλλ' ἐν Παραδείσῳ τῷ ξύλῳ,
τῷ τῆς ζωῆς σοι προσήνεκται·
τῶν γὰρ προσκαίρων λυθείς,
αἰωνίως ἀγάλλεται·
οὗ ταῖς πρεσβείαις ταῖς Ἐκκλησίαις,
τὴν εἰρήνην σου κατάπεμψον.

Κύριε, σὲ ὁμολογήσας γενναίως,
ὁ Ἀδελφόθεος γέγηθεν,
Υἱὸν τοῦ Θεοῦ τοῦ ὑψίστου,
εἰλικρινῶς ὁ ἀοίδιμος·
τοὺς δὲ δυσφήμους ἐχθρούς,
κατήσχυνε καὶ ἔπαυσε·
διὰ τοῦτο καὶ ἐναθλήσας,

σοὶ παρέστη ἀγαλλόμενος.

*Δόξα. Ἦχος πλ. β΄.*

Αἵματι τοῦ μαρτυρίου,
τὴν ἱερωσύνην κατεποίκιλας,
Ἱερομάρτυς, Ἀπόστολε·
τῷ γὰρ πτερυγίῳ τοῦ ἱεροῦ παρεστώς,
Θεὸν Λόγον ἐκήρυξας, Δημιουργὸν ὄντα τοῦ παντός·
ὅθεν ὑπὸ Ἰουδαίων ῥιφείς,
οὐρανίων θαλάμων ἠξίωσαι,
Ἀδελφόθεε Ἰάκωβε,
Χριστὸν τὸν Θεὸν ἱκέτευε,
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε;
τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον;
ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής,
ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς,
φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι΄ ἡμᾶς,
οὐκ εἰς δυάδα προσώπων τεμνόμενος,
ἀλλ΄ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος.
Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.*
*Ἀναγνώσματα ἐκ τῆς Ἐπιστολῆς τοῦ Ἀποστόλου.*

***Καθολικῆς ἐπιστολῆς Ἰακώβου τὸ ἀνάγνωσμα***

Ἰάκωβος Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ χαίρειν. Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν,·ἡ δὲ ὑπομονὴ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι. Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος· αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος. Ὁ γὰρ διακρινόμενος ἔοικεν κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. Μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος, ὅτι λήψεταί τι παρὰ τοῦ Κυρίου. Ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. Καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ, ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ, ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται. Ἀνέτειλεν γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι καὶ ἐξήρανεν τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο. Οὕτω καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται. Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο Κύριος τοῖς ἀγαπῶσιν αὐτόν.

### *Καθολικῆς ἐπιστολῆς Ἰακώβου τὸ ἀνάγνωσμα*

Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν; ἐὰν ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσιν καὶ λειπόμενοι τῆς ἐφημέρου τροφῆς, εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν, Ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε, μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ ὄφελος;οὕτως καὶ ἡ πίστις, ἐὰν μὴ ἔχῃ ἔργα, νεκρά ἐστιν καθ᾽ ἑαυτήν. Ἀλλ᾽ ἐρεῖ τις, Σὺ πίστιν ἔχεις κἀγὼ ἔργα ἔχω. Δεῖξόν μοι τὴν πίστιν σου χωρὶς τῶν ἔργων, κἀγώ σοι δείξω ἐκ τῶν ἔργων μου τὴν πίστιν. Σὺ πιστεύεις ὅτι εἷς Θεός ἐστιν; καλῶς ποιεῖς. Καὶ τὰ δαιμόνια πιστεύουσιν καὶ φρίσσουσιν. Θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων ἀργή ἐστιν; Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον; βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη, καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα, Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος Θεοῦ ἐκλήθη. Ὁρᾶτε τοίνυν, ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος καὶ οὐκ ἐκ πίστεως μόνονκ Ὁμοίως καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη ὑποδεξαμένη τοὺς κατασκόπους καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσακ ὥσπερ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.

***Καθολικῆς ἐπιστολῆς Ἰακώβου τὸ ἀνάγνωσμα***

Ἀδελφοί, ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσιν χάριν. Ὑποτάγητε οὖν τῷ Θεῷ, ἀντίστητε δὲ τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ᾽ ὑμῶν.·Ἐγγίσατε τῷ Θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. Καθαρίσατε χεῖρας, ἁμαρτωλοί, καὶ ἁγνίσατε καρδίας, δίψυχοι. Ταλαιπωρήσατε καὶ πενθήσατε καὶ κλαύσατε. Ὁ γέλως ὑμῶν εἰς πένθος μετατραπήτω καὶ ἡ χαρὰ εἰς κατήφειαν. Ταπεινώθητε ἐνώπιον Κυρίου, καὶ ὑψώσει ὑμᾶς. Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί· ὁ καταλαλῶν ἀδελφοῦ ἢ κρίνων τὸν ἀδελφὸν αὐτοῦ καταλαλεῖ νόμου καὶ κρίνει νόμον. Εἰ δὲ νόμον κρίνεις, οὐκ εἶ ποιητὴς νόμου ἀλλὰ κριτής. Εἷς ἐστιν νομοθέτης καὶ κριτής, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι.·Σὺ δὲ τίς εἶ, ὁ κρίνων τὸν πλησίον;

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ**

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα, ποίημα ὁσίου Νικοδήμου*
*Ἦχος α΄.*

Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον,
ἄνωθεν καταπέμπεται,
ὡς ἔφης, θεόπτα Ἰάκωβε·
ὅθεν ἐκ κοιλίας μητρός σε, ὁ Θεὸς Λόγος σαρκούμενος ἐξελέξατο,
καὶ ἀδελφὸν ἑαυτοῦ προσήκατο,
ὑπέρτιμόν σοι χάριν δωρησάμενος,
ἧς οὐκ ἔστιν ὁ κόσμος ἀντάξιος.
Διὸ παῤῥησίαν μεγίστην πρὸς αὐτὸν εὑράμενος,
ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος βαρύς*

Τὸν ἐκ γένους Ἀβραὰμ καὶ ἐξ Ἰούδα φυλῆς,
καὶ Δαβὶδ ἐκ σπέρματος,
τὸν υἱὸν τοῦ Ἰωσήφ, καὶ συγγενῆ τῆς Παρθένου,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὸν τῇ ἀδελφότητι Χριστοῦ, ὡς εἰκὸς σεμνυνόμενον,
τὸν δίκαιον Ἰάκωβον τιμήσωμεν.
Ἐκ βασιλικῆς γὰρ σειρᾶς ἐξυφανθείς,
τῷ χρίσματι τῆς ἱεραρχίας τε βαφείς,
ἐξήστραψε ταῖς ἀκτῖσι τοῦ Πνεύματος,
καὶ κόσμου τὰ πέρατα ἐφώτισε.

*Ἦχος ὁ αὐτός*

Ποικίλοις καὶ μεγίστοις κατεκοσμήθης χαρίσμασιν, Ἰάκωβε ἔνδοξε,
καὶ πολλὰς τὰς κλήσεις τῶν ἀρετῶν σου πελούτηκας.
Δίκαιος γὰρ ἐκλήθης ἰδιαιτέρως, ὡς ἐργάτης δικαιοσύνης.
Ἀδελφὸς δὲ Χριστοῦ τοῦ Θεοῦ, ὡς ἀγαπήσας Αὐτὸν κατ᾽ ἐξαίρετον.
Ἱεράρχης τε καὶ ἀπόστολος,
καὶ ἐπὶ πᾶσι μάρτυς καὶ συγκοινωνὸς τῶν αὐτοῦ παθημάτων,
ἀλλὰ καὶ τῆς δόξης καὶ ἀναστάσεως,
ἧς καὶ ἡμᾶς ἀξιωθῆναι ἱκέτευε,
τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν ἱεράν σου πανήγυριν.

*Ἦχος γ΄*

Διαφερόντως ἠγαπήθης παρὰ τοῦ σοῦ διδασκάλου Χριστοῦ τοῦ Θεοῦ,
θεάδελφε Ἰάκωβε.
Ὅθεν καὶ ὑπὲρ τοὺς λοιπούς σου ἀδελφοὺς καὶ συναποστόλους,
τιμῆς ἐξαιρέτου παρ᾽ Αὐτοῦ κατηξίωσαι.
Τοὺς μὲν γὰρ ἄλλους εἰς ἄλλας παροικίας ἀποστείλας τῆς
οἰκουμένης,
σὲ μόνον ἐν Ἱεροσολύμοις, ἐν τῇ πόλει τοῦ μεγάλου βασιλέως,
εἰς ἣν παρὰ τοῦ Πατρὸς αὐτὸς ἀπεστάλη,
ἀρχιποιμένα κατέστησε,
καὶ τῆς ἰδίας ἀποστολῆς καὶ ἀδιαδόχου ἱεραρχίας,
διάδοχον προεχειρίσατο ἄμεσον.
Ὢ δόξης ἧς μετέσχες, ἀπόστολε θεοδόξαστε!
δι᾽ ἣν σὲ αἰνέσουσιν οἱ κατὰ σάρκα ἀδελφοί σου,
καὶ κατὰ πνεῦμα συνάδελφοί σου Ἀπόστολοι,
μεθ᾽ ὧν πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Δόξα. Ἦχος δ΄.*

Σήμερον ἐπέφανεν ἡμῖν ὡς εὐωδέστατον μῆλον ἐν μετοπώρῳ,
ἡ σεβασμία ἑορτὴ τοῦ Ἀποστόλου.
Δεῦτε οὖν, φιλέορτοι, πνευματικῶς εὐφραινόμενοι,
ἐν φωναῖς ἀλαλαγμοῦ αὐτὸν προσείπωμεν λέγοντες·
χαίροις, Ἰάκωβε ἔνδοξε,
τῶν Ἀποστόλων τὸ εὖχος,
ἱεραρχῶν ἡ ἀκρότης,
καὶ τῶν δικαίων τὸ σεμνολόγημα.
Χαίροις, ὁ τοῦ πρὸ αἰώνων ἐκ Πατρὸς ἀῤῥεύστως γεννηθέντος,
κατὰ σάρκα χρηματίσας ἀδελφὸς ἰδιαίτατος.
Χαίροις, ὁ τὸν σὸν διδάσκαλον Χριστόν,
ὡς ἔννομος μαθητὴς μιμησάμενος.
Ὡς γὰρ Ἐκεῖνος ὑπὲρ τῶν σταυρωτῶν,
οὕτω καὶ σὺ ὑπὲρ τῶν φονευόντων σε παρεκάλεις.
Αἴτησαι πρεσβείαις σου,
δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου,
φύλαττε, εὐλογημένη Θεοτόκε,
ἵνα σὲ δοξάζωμεν,
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

*Στιχηρὰ προσόμοια. Ἦχος πλ.α΄.Χαίροις ἀσκητικῶν.*

Χαίροις, ὁ νοητὸς οὐρανός,
Θεοῦ τὴν δόξαν τοῖς βροτοῖς διηγούμενος,
στερέωμα ἀναγγέλλον,
ποίησιν θείων χειρῶν,
ἥλιος ὁ μέγας καὶ χρυσόμορφος,
αὐγάζων τὰ πέρατα,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῷ φωτὶ θείας γνώσεως,
σελήνης δίσκος,
ἀργυροῦς ὁ τοῖς λάμψεσι,
πλάνης ἔνδοξε,
ἐκδιώκων σκοτόμαιναν,
ἄστρον τῆς νέας χάριτος,
Ἰάκωβε πάνσοφε,
πᾶσι τοῖς πόθῳ τελοῦσι,
τὴν πανσεβάσμιον μνήμην σου,
Χριστὸν καταπέμψαι,
παμμακάριστε δυσώπει τὸ μέγα ἔλεος.

Στίχ. *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.*

Χαίροις, ὁ ἱερὸς γραμματεύς,
μαθητευθεὶς εἰς βασιλείαν Ἰάκωβε,
καὶ νέα καὶ παλαιά τε,
ἐκ θησαυροῦ ἐκβαλών,
τὰ τοῦ πάλαι νόμου καὶ τῆς χάριτος·
ἀπόστολος μέγιστος,
ἱεράρχης ὁ πρώτιστος,
Σιὼν τῆς νέας,
τὸ δεκάχορδον ὄργανον,
ἐμπνεόμενον λεπταῖς αὔραις τοῦ Πνεύματος,
σάπλιγξ ἡ διηχήσασα,
εἰς κόσμου τὰ πέρατα,
τῆς ἀληθείας τὸν λόγον,
τὸ τῶν δικαίων καλλώπισμα,
Χριστὸν καταπέμψαι,
ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

Στίχ. *Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.*

Χαίροις, ὁ τῷ μεγάλῳ φωτί,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Πατρὸς τῶν φώτων παρεστὼς νῦν, Ἰάκωβε,
χειμάῤῥους τρυφῆς τῆς θείας,
ὁ τοῦ Χριστοῦ ἀδελφός,
τὸ γλυκὺ καὶ πρᾶγμά τε καὶ ὄνομα·
κρατὴρ τῆς σοφίας,
ὁ τορευτὸς καὶ κατάχρυσος,
πηγὴ γλυκεῖα,
τῶν δογμάτων τῆς Χάριτος,
νόμος ἔνθεος,
ἐκ Σιὼν ἐξερχόμενος.
Κήρυξ ὁ διαπρύσιος,
Χριστοῦ τῆς θεότητος,
πέλεκυς πᾶσαν ἐκκόπτων,
τὴν Ἰουδαίων ἀπόνοιαν,
Χριστὸν καταπέμψαι,
ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τοῦ ἀρχιποίμενος Χριστοῦ, ἀδελφὸς χρηματίσας καὶ διάδοχος,
καὶ ἐν Ἀποστόλοις ἐπίσημος,
τὸν ὑπὲρ αὐτοῦ θάνατον ἠγάπησας,
καὶ τὸ μαρτύριον οὐκ ἐπησχύνθης, Ἰάκωβε ἔνδοξε.
Αὐτὸν ἱκέτευε ἀδιαλείπτως,
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε,
ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί,
Μήτηρ Θεοῦ τοῦ ὑψίστου,
σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε,
ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων,
νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη,
δυσώπει σωθῆναι πάντας ἡμᾶς.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.*

*Ἀπολυτίκιον. Ἦχος δ΄.*

Ὡς τοῦ Κυρίου μαθητής,
ἀνεδέξω, Δίκαιε, τὸ Εὐαγγέλιον,
ὡς Μάρτυς ἔχεις τὸ ἀπαράτρεπτον,
τὴν παῤῥησίαν ὡς Ἀδελφόθεος,
τὸ πρεσβεύειν ὡς ἱεράρχης.
Πρέσβευε Χριστῷ τῷ Θεῷ,
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα. Ἦχος α΄.Τὸν τάφον σου, Σωτήρ.*

Ἀπόστολε Χριστοῦ καὶ αὐτόπτα καὶ μάρτυς,
Ἰάκωβε σοφὲ, Ἀδελφόθεε μάκαρ,
τοὺς πίστει ἑορτάζοντας,
τὸ σεπτόν σου μνημόσυνον,
ἐλευθέρωσον,
τῶν συνεχόντων πταισμάτων,
ταῖς πρεσβείαις σου,
τοὺς οὐρανοὺς ἐμβατεύων,
δυνάμει τοῦ Πνεύματος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον ὅμοιον.*

Μαρία, ἡ τὰς τρεῖς ἀνηκούστους ἑνώσεις,
ἑνώσασα φρικτῶς, παρθενίαν καὶ τόκον,
Θεόν τε καὶ ἄνθρωπον,
πίστιν τε καὶ πιστεύουσαν,
τοῖς ξενίζουσι,
τούτοις καρδίαν ἀνθρώπου,
ἡμᾶς ἕνωσον,
τῇ τοῦ Υἱοῦ σου ἀγάπῃ,

καὶ σῶσον, Πανύμνητε.

*Μετὰ τὴν β΄ στιχολογίαν. Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Ἡ σεπτὴ ἐπιστολή,
σοῦ, ὦ Ἰάκωβε σοφέ,
εὖ ποιεῖ διηνεκῶς,
τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ,
καὶ ἐκδιδάσκει τῇ πίστει σύμφωνα ἔχειν,
ἔργα ἀγαθά,
πιστοὺς ἅπαντας,
εὐθύμως καρτερεῖν,
ἐν ταῖς θλίψεσιν,
γλώττης κρατεῖν καὶ τὴν τοῦ κόσμου,
φιλίαν ἔχθραν λογίζεσθαι,
Θεοῦ καὶ χρίειν,
τοὺς ἀσθενοῦντας,
ἐν ἁγίῳ ἐλαίῳ.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον ὅμοιον.*

Ἀπειρόγαμε Ἁγνή,
πῶς συλλαμβάνεις ἐν γαστρίκ
τὸν ἁπάντων τὴν πνοήν,
περιλαβόντα ἐν χερσίκ
φράσον ἡμῖν τὸν λόγον τοῦ μυστηρίου σου.
Πανάληθές ἐστι, τοῦ το, ὦ ἄνθρωπε,
καὶ παῦσαι ἐρευνῶν,
τὸ ἀκατάληπτον,
ὕψος καὶ βάθος μῆκος καὶ πλάτος,
τῆς ἀποῤῥήτου λοχείας μου,
νικᾷ γὰρ ὄντως!
ἔννοιαν πᾶσαν,
ἀγγέλων τε καὶ ἀνθρώπων.

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τοῦ θείου Πνεύματος,
τὴν ἐπιφοίτησιν,
μάκαρ, δεξάμενος,
τέμενος γέγονας,
τῶν χαρισμάτων τῶν αὐτοῦ,
καὶ μυστικὸν συνέγραψας,
τύπον πλάτος ἔχοντα,
πανιέροις νοήμασι,
καὶ σοφαῖς ἐν φράσεσι,
θεοφόρε Ἰάκωβε,
φρικτῆς ἱερουργίας καὶ τοῦτον,
παρέδωκας τῇ Ἐκκλησίᾳ.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον ὅμοιον.*

Ἐν τῇ Κοιμήσει σου,
Παρθένε ἄχραντε,
καὶ ὁ Ἰάκωβος,
ὁ Ἀδελφόθεος,
μετὰ τῶν ἄλλων μαθητῶν,
παρῆν ὡς θεασόμενος,
τὸ ζωαρχικώτατον,
καὶ πανάχραντον σκῆνός σου,
καὶ τὸ ἀνερμήνευτον,
ἀνυμνήσων μυστήριον,
τῆς θείας καὶ φρικτῆς σου λοχείας,
ὃ προσκυνοῦντας ἡμᾶς σῶσον.

*Οἱ Ἀναβαθμοί.* Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου. Ἐκ νεότητός μου.
*Προκείμενον.* Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.
*Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.*
*Πᾶσα πνοή.* **Εὐαγγέλιον,** ἀποστολικόν.
*Ὁ Ν'*, Ἐλέησόν με ὁ Θεός.
*Δόξα.* Ταῖς τοῦ Ἀποστόλου.

*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.
*Ἐλέησόν με ὁ Θεός…καὶ τὸ ἰδιόμελον.*
*Ἦχος πλ.β΄.*

Παρεστηκὼς τῷ θρόνῳ τοῦ Δεσπότου Χριστοῦ,
καὶ παῤῥησίας τυγχάνων πρὸς Αὐτόν,
διὰ τὴν συγγενῆ οἰκειότητα,
μὴ ἀποκάμῃς ἱκετεύειν ὑπὲρ ἡμῶν,
τὴν Αὐτοῦ ἀγαθότητα,
Ἰάκωβε θεάδελφε,
τῶν Δεσποσύνων ὁ πρώτιστος.

*Εἶτα ψάλλονται οἱ Κανόνες·*
*ὁ παρὼν ποίημα ἁγίου Θεοφάνους Νικαίας.*
*Ὠιδὴ α΄. Ἦχος δ΄.Θαλάσσης τὸ ἐρυθραῖον.*

Τὴν δόσιν, τὴν ἀγαθήν, Ἰάκωβε,
καὶ δῶρον τέλειον,
ἐκ τοῦ Πατρὸς τῶν φώτων τοῖς βροτοῖς,
χορηγεῖσθαι διδάσκεις σαφῶς,
ἧς μετασχεῖν Ἀπόστολε,
τοὺς σὲ ὑμνοῦντας καθικέτευε.

Τῇ αἴγλῃ, σὺ φωτισθείς, Ἰάκωβε,
τοῦ θείου Πνεύματος,
καὶ σὺν αὐτῷ τοὺς νόμους ἐκτιθείς,
Ἐκκλησίας ῥυθμίζεις ἐθνῶν,
ὡς τοῦ Χριστοῦ Ἀπόστολος,
ἱεροφάντορ παμμακάριστε.

Χορείαν, τῶν Ἀποστόλων, πάνσοφε,
σαφῶς ἐκόσμησας,
Ἀρχιερεὺς ὡς πρῶτος γεγονώς,
αὐτουργίᾳ τοῦ Λόγου χρισθείς,
ὡς μαθητὴς θεάδελφος,
ἱεροκήρυξ μυστικώτατος.

*Θεοτοκίον.*

Πηγήν σε, τῶν ἰαμάτων ἔχοντες,
ἀπαρυόμεθα,
ὡς τὴν πηγὴν τεκοῦσαν τῆς ζωῆς,
Θεοτόκε πανύμνητε,
καὶ τῶν ψυχῶν τὴν ἴασιν,
καὶ τῶν σωμάτων τὴν ἀνάκτησιν.

*καὶ ὁ παρὼν, οὗ ἡ ἀκροστιχίς:*
***"Χριστοῦ ἀδελφῷ, ᾆσμα δεύτερον πλέκω".***
*Ποίημα ὁσίου Νικοδήμου τοῦ Ἁγιορείτου.*

*Ἦχος πλ.δ'. Ἁρματηλάτην φαραώ.*

Χριστοῦ ταῖς θείαις ἀστραπαῖς λαμπόμενος,
μάκαρ Ἰάκωβε,
τὸν νοητὸν ζόφον,
τῆς ψυχῆς μου δίωξον,
καὶ κόρας τῆς καρδίας μου,
καταλάμπρυνον ὅπως,
ἐν ὑμνῳδίαις δοξάσω σου,
τὴν σεπτὴν καὶ θείαν πανήγυριν.

Ῥήτωρ πυρίπνους τῆς Χριστοῦ θεότητος,
ἐδείχθης, πάνσοφε,
μίαν τῶν πυρίνων,
γλωσσῶν εἰσδεξάμενος,
τοῦ παναγίου Πνεύματος,
καὶ ἐκήρυξας πᾶσι,
τοῖς Ἰουδαίοις τὸν Κύριον,
Υἱὸν τοῦ Θεοῦ γνησιώτατον.

Ἰσχὺν ἐξ ὕψους ἐνδυθεὶς τὴν ἄμαχον,
μάκαρ Ἰάκωβε,
παρεμβολὰς πάσας,


ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἰουδαίων ἔκλινας,
καὶ τούτων καταβέβληκας,
τὰ φρυάγματα πάντα,
κατὰ Χριστοῦ ἐπαιρόμενα,
ἀγχεμάχοις ὅπλοις τῆς χάριτος.

*Θεοτοκίον.*

Σύγχυσις λόγων λογισμῶν τε σκότωσις,
περικαλύπτουσι,
τοὺς τὸν τοκετόν σου,
Κόρη, ἑρμηνεύοντας,
Ὃν γὰρ Μωσῆς ἑώρακεν,
ἐν θυέλλῃ καὶ γνόφῳ,
κεκαλυμμένον ἐγέννησας,
καὶ ταῖς σαῖς ἀγκάλαις ἐβάστασας.

*Ὠιδὴ γ΄.Εὐφραίνεται ἐπὶ σοί.*

Εὐφραίνεται ἡ φυλή,
ἡ τοῦ Ἰούδα ἐπὶ σοὶ σήμερον,
ταῖς τοῦ Χριστοῦ βλέπουσα,
σὲ μαρμαρυγαῖς ἀπαστράπτοντα.

Ἀστέρα θεολαμπῆ,
σὲ ἡ Ἐκκλησία τῶν ἐθνῶν ἔχουσα,
τὸν εὐκλεῆ κήρυκα,
θείαις δᾳδουχίαις λαμπρύνεται.

Τὸν νόμον τὸν τῆς ζωῆς,
τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ τέθεικας,
ζωοποιῷ Πνεύματι,
σὺ νομοθετῶν καὶ φθεγγόμενος.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὅν ἔτεκες ἐν σαρκί,
Παρθενομῆτορ, ἐκ Πατρὸς λάμψαντα,
τοῦτον Ἁγνή, Ἰάκωβος,
ὡς Θεὸν τῶν ὅλων ἐκήρυττε.

ἕτερος.Οὐρανίας ἁψῖδος.

Τὴν πηγὴν τῆς σοφίας,
σὺ ἐσχηκώς, ἔνδοξε,
διδάσκαλον ζῶντα,
ποταμοὺς ἀνέβλυσας,
ἐκ τῆς κοιλίας σου,
διηνεκῶς ἁλλομένους,
καὶ κόσμου κατήρδευσας,
πάντα τὰ πέρατα.

Ὁλικῶς ἀγαπήσας,
τῶν ὀρεκτῶν ἔσχατον,
ἐγκρατείᾳ ἄκρᾳ,
καὶ ἀσκήσει συντόνῳ ἐκέχρησο,
ὑπὲρ τοὺς ἄλλους σου,
συναποστόλους, θεόφρον,
καὶ τοῦτο κατείληφας,
νοῦ καθαρότητι.

Ὑπερβὰς τὴν δυάδα,
τὴν ἐμπαθῆ, ἔνδοξε,
καὶ λυθεὶς τετράδος,
στοιχειώδους νῦν ὤφθης Ἰάκωβε,
ἐπόπτης ἄμεσος,
τῆς ἀνωτάτης Τριάδος,
καὶ Θεὸς γεγένησαι,
θέσει θεούμενος.

Θεοτοκίον.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀκατάληπτον ὄντως!
θαῦμα τὸ σὸν πέφυκεν,
ὁ γὰρ ἐν τοῖς κόλποις,
τοῖς πατρῴοις καθήμενος, Ἄχραντε,
ἐπὶ τῶν κόλπων σου,
ὡς ἐπὶ θρόνου ἁγίου,
σαρκοφόρος κάθηται,
τίς οὐ θαυμάσεται.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Συγγενὴς κατὰ σάρκα τοῦ Ἰησοῦ,
χρηματίσας πρὸς τούτου χάριν πολλήν,
Ἀπόστολε εἴληφας,
καὶ τοῖς πᾶσι μετέδωκας,
φωτισμοῦ καὶ γνώσεως, πανσόφου, Ἰάκωβε,
καὶ εἰδώλων πλάνην,
ῥιζόθεν ἀνέσπασας·
ὅθεν οἱ τοῦ σκότους,
προϊστάμενοι πλάνοι,
ἀδίκως σε κτείνουσι,
τὸν Σωτῆρα κηρύττοντα·
διὰ τοῦτο βοῶμεν σοι·
Πρέσβευε Χριστῷ τῷ Θεῷ,
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι,
τοῖς ἑορτάζουσι πόθῳ,
τὴν ἁγίαν μνήμην σου.

*Δόξα.Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Ὡς πανάμωμος Νύμφη τοῦ Ποιητοῦ,
ὡς ἀπείρανδρος Μήτηρ τοῦ Λυτρωτοῦ,
δοχεῖον ὡς ὑπάρχουσα,
τοῦ Παρακλήτου Πανύμνητε,
ἀνομίας με ὄντα, αἰσχρὸν καταγώγιον,
καὶ δαιμόνων παίγνιον,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐν γνώσει γενόμενον,
σπεῦσον καὶ τῆς τούτων,
κακουργίας με ῥῦσαι,
λαμπρὸν οἰκητήριον,
ἀρετῆς ἀπαρτίσασα,
φωτοδόχε ἀκήρατε·
δίωξον τὸ νέφος τῶν παθῶν,
καὶ τῆς ἄνω μεθέξεως ἀξίωσον,
καὶ φωτὸς ἀνεσπέρου,
πρεσβείαις σου, Ἄχραντε.

*Ὠιδὴ δ΄. Δι᾽ ἀγάπησιν, Οἰκτίρμον.*

Ἐπεβίβασας εἰς θάλασσάν σου τοὺς ἵππους,
τοὺς Ἀποστόλους Σῶτερ, καὶ ἐφώτισαν τὰ ἔθνη,
πρὸς τὴν σὴν ἐπίγνωσιν,
ἑλκύσαντες Κύριε.

Ἀκηλίδωτον ὡς ἔσοπτρον δεδειγμένος,
καὶ πρωτουργοὺς ἀκτῖνας, τῆς ἀκτίστου Τριάδος,
ἀκριβῶς δεξάμενος,
τοῖς πᾶσιν ἐξέλαμψας.

Κυλιόμενον σε λίθον ἡ προφητεία,
ἡγιασμένον βλέπει, καὶ συντρίβοντα πλάνης,
σαθρὰν ματαιότητα,
ἰσχΰϊ τοῦ Πνεύματος.

*Θεοτοκίον.*

Ὑποδὺς Παρθενομῆτορ τὴν σὴν γαστέρα,
ὁ πρὸ αἰώνων Λόγος, γεννηθεὶς ἀποῤῥήτως,
ἐκ Πατρός, Ἰάκωβον,
Ἀπόστολον δείκνυσι.
*ἕτερος. Σύ μου ἰσχύς, Κύριε.*

Δεῦτε, πιστοί,
Ἀδελφοθέου τὴν ἄθλησιν,
ὑμνῳδίαις ἱεραῖς τιμήσωμεν,
καὶ τὸν αὐτόν,
Χριστὸν τὸν Θεόν,
ἐν γῇ καὶ ἐν πόλῳ,
δοξάσαντα μεγαλύνωμεν,
ὡς αἵματος ἐκχύσει,
καὶ ἐν ἔργοις καὶ λόγοις,
διὰ βίου παντὸς προδοξάσαντα.

Εὖγε τῆς σῆς,
νουνεχεστάτης φρονήσεως!
τοῦ Κυρίου, ἀδελφὲ Ἰάκωβε,
πραγματειῶν καὶ γὰρ ἁπασῶν,
τὴν μεγίστην ὄντως!
ἐπραγματεύσω, θεόσοφε,
ζωῆς γὰρ ἐπικήρου,
καὶ αἱμάτων ὀλίγων,
βασιλείαν ὠνήσω αἰώνιον.

Λόγῳ ἡμᾶς,
τῆς ἀληθείας ἐν Πνεύματι,
κυηθέντας,
Θεὸς ᾑρετίσατο,
εἶναι σαφῶς,
ὥσπερ ἀπαρχήν,
τῶν αὐτοῦ κτισμάτων,
κατὰ τοὺς σοὺς λόγους πάνσοφε,
θεόθεν διδαχθέντος,
οὐρανίῳ μυήσει,
τὰ τοιαῦτα θεόσοφα πράγματα.

*Θεοτοκίον.*

Φῶς ἐκ φωτός,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐκ τοῦ Πατρὸς τὸν ἐκλάμψαντα,
πρὸ αἰώνων,
ἐπ᾽ ἐσχάτων, Δέσποινα,
ὥσπερ λυχνία φωτοφανής,
ἐγέννησας, Κόρη,
φῶς ἀληθὲς καὶ ἀπρόσιτον,
ὃ πάντα καταλάμπει,
νοερῶς καὶ φωτίζει,
εἰς τὸν κόσμον ἐρχόμενον ἄνθρωπον.

*Ὠιδὴ ε΄. Σύ, Κύριέ μου, φῶς.*

Σύ, Κύριε, φωτός,
ἀστραπὴν τὸν Ἰάκωβον,
ἀνέδειξας φρυκτωροῦσαν,
καὶ βροτοὺς τῆς ἀγνοίας,
καὶ πλάνης ἀπαλλάττουσαν.

Σέ, Κύριε, φωνῇ,
ἐλευθέρᾳ ἐκήρυξεν,
ὁ δίκαιος ἀδελφός σου,
μιμητὴς τε τοῦ πάθους,
ἐγένετο κτεινόμενος.

Τίς βρότειός σοι νοῦς,
ἐγκωμίων ἐφύμνιον,
δυνήσεται προσκομίζειν,
ἀρετῆς λαμπρυνθέντι,
ταῖς χάρισιν, Ἰάκωβε;

*Θεοτοκίον.*

Σὲ θεῖον ἀληθῶς,
εὑρηκὼς ἐνδιαίτημα,
κατῴκησεν, ὦ Παρθένε,
τὴν ἡμῶν σωτηρίαν,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὁ Λόγος προμηθούμενος.

*ἕτερος. Ἵνα τί με ἀπώσω.*

Ὡς ἀστὴρ φωτοφόρος,
ἐξανέτειλεν κόσμῳ ἡ θεία μνήμη σου,
φωτίζουσα πάντας,
τοὺς αὐτὴν ἐτησίως γεραίροντας,
καὶ ἐξαιτουμένους,
τὰς δραστικάς σου ἱκεσίας,
πτερνιστὰ τῆς ἀπάτης, Ἰάκωβε.

Ἁρπαγεὶς θεωρίας,
εἰς ὑπέρφωτον γνόφον ἐθεολόγησας,
ἐκ Πατρὸς τῶν φώτων,
καταβαίνειν πᾶν δώρημα τέλειον,
ἅπασιν ἀνθρώποις,
ὢ στόματος θεοφορήτου!
ὢ νοὸς ὑπὲρ ἥλιον λάμποντος!

Σοφίας οὐρανίου,
βασιλείας τε θείας φρικτὰ μυστήρια,
γνῶναί σοι ἐδόθη,
παρ᾽ αὐτῆς, θεοφόρε Ἰάκωβε,
τῆς ἐνυποστάτου,
Θεοῦ σοφίας τε καὶ Λόγου,
ἐπὶ γῆς δι᾽ ἡμᾶς χρηματίσαντος.

*Θεοτοκίον.*

Μακαρία ἐγένου,
παμμακάρσιτε Κόρη, ὡς τὸν μακάριον,
Θεὸν συλλαβοῦσα,
καὶ μακάριοι πάντες ὑπάρχουσιν,
οἱ σὲ κατιδόντες,
μακάριοι οἱ σὲ τεκόντες,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ οἱ σὲ ἐπαινοῦντες μακάριοι!

*Ὠιδὴ ϛ΄. Θύσω σοι, μετὰ φωνῆς.*

Στολήν σε,
τῆς νομικῆς ἐνέδυσε κρείττονα,
καί.Ἱεράρχην δεικνύει,
Ἀαρὼν τοῦ πάλαι τιμιωτέραν,
ὁ δι᾽ οἶκτον,
εἰς ἀδελφότητά σε δεξάμενος.

Ὄργανον,
ἐνεργείαις κρουόμενον Πνεύματος,
πᾶσαν διάνοιαν θέλγον,
καὶ Θεῷ προσάγον τοὺς σῳζομένους,
ἐκ δουλείας,
χαλεπωτάτης γέγονας ἄριστον.

Διψήσας,
τοῦ τῆς ζωῆς ἐξέπιες νάματος,
καὶ ποταμοὺς ἀναβλύζεις,
θεοῤῥημοσύνης τῆς σῆς κοιλίας,
ἀλλομένους,
τῇ οἰκουμένῃ τῷ θείῳ Πνεύματι.

*Θεοτοκίον.*

Εὔα μέν,
παρακοῇ τὸν θάνατον ἔτεκεν·
ἡ Θεοτόκος ζωὴν δέ,
συλλαβοῦσα τέτοκε τὴν ἀγήρω,
καὶ τὸ πάλαι,
ὑπὲρ πάντων ἀπέτισεν ὄφλημα.

*ἕτερος. Ἱλάσθητί μοι, Σωτήρ.*

Ἀκτῖσι καταστραφθείς,
τῆς ἀρχιφώτου θεότητος,
καὶ φῶς τὸ αὐτολαμπές,
ἐποπτεύσας ἔνδοξε,
παρ' ᾧ ἀνεβόησας,
ἀλλαγὴ οὐκ ἔστιν,
ἢ τροπῆς τι ἀποσκίασμα.

Δίκαιος κατ' ἐξοχήν,
ἐκλήθης, θεῖε Ἰάκωβε,
δικαιοσύνης θεσμούς,
καλῶς γὰρ ἐτήρησας,
νόμου τε καὶ φύσεως,
ἐκ νεότητός σου,
ὢ δικαίων σεμνολόγημα.

Εἰς πᾶσαν ὡς ἀληθῶς,
τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου,
καὶ φῶς τῆς ἐπιστολῆς,
τῆς σῆς περιήστραψεν,
Ἐκκλησίαν ἅπασαν,
τοῦ Χριστοῦ καὶ σῴζει,
τοὺς αὐτὴν ἀναγινώσκοντας.

*Θεοτοκίον.*

Ὑπέρτερος οὐρανός,
τοῦ οὐρανοῦ ὤφθης, Δέσποινα,
Ὃν γὰρ ἐκεῖνος, Ἁγνή,
χωρῆσαι οὐ δύναται,
σὺ ἐν τῇ κοιλίᾳ σου,
ἀστενοχωρήτως,
ὑπὲρ ἔννοιαν ἐχώρησας.

*Κοντάκιον. Ἦχος δ΄.Ὁ ὑψωθείς.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὁ τοῦ Πατρὸς μονογενὴς Θεὸς Λόγος,
ἐπιδημήσας πρὸς ἡμᾶς ἐπ᾽ ἐσχάτων,
τῶν ἡμερῶν, Ἰάκωβε θεσπέσιε,
πρῶτόν σε ἀνέδειξε τῶν Ἱεροσολύμων,
Ποιμένα καὶ Διδάσκαλον,
καὶ πιστὸν οἰκονόμον,
τῶν μυστηρίων τῶν πνευματικῶν·
ὅθεν σε πάντες,
τιμῶμεν, Ἀπόστολε.

***Ὁ Οἶκος.***

Τὸν γόνον σε τοῦ Ἰωσήφ,
καὶ Ἱεροσολύμων τὸν πρῶτον ἱεράρχην,
Ἰάκωβε θεόπτα, καὶ τοῦ Κυρίου ἀδελφόν,
ὕμνοις ἐγκωμίων ἀνυμνοῦμεν εὐσεβῶς,
καὶ πίστει ἀνακράζομεν·
Δώρησαι ἡμῖν δώρημα τέλειον ἐκ τοῦ Πατρὸς τῶν φώτων,
καὶ ἀπέλασον τὴν θλῖψιν τὴν ἐπερχομένην καὶ ἐνεστῶσαν
ἐκ πλήθους πταισμάτων·
ἐπῆραν γὰρ οἱ ἐχθροὶ καθ’ ἡμῶν τὴν πτέρναν,
καὶ ἐκύκλωσαν ἡμᾶς Ἰσμαηλῖται·
ὧν θραῦσον ταχὺ τὰ τόξα, ἱεροφάντορ,
ἵνα σε πάντες τιμῶμεν, Ἀπόστολε.

*τὸ Συναξάριον.*

**Τῇ ΚΓ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἱερομάρτυρος καὶ Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου, πρώτου ἐπισκόπου Ἱεροσολύμων.**

*Στίχοι.*

*Κληθεὶς ἀδελφὸς τοῦ κατακρίτου ξύλῳ,*
*Θνήσκεις δι’ Αὐτόν, παμμάκαρ, κρουσθεὶς ξύλῳ.*
*Ἐσθλὸν Ἀδελφόθεον τριτάτῃ ξύλῳ εἰκάδι πλῆξαν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰγνατίου, Πατριάρχου Κωνσταντινουπόλεως.**

*Στίχοι.*

*Εὗρες μεταστὰς τὴν παλαιὰν ἀξίαν,*
*Ἰγνάτιε, πρόεδρε Ῥώμης τῆς Νέας.*

**Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μακαρίου τοῦ Ῥωμαίου.**

*Στίχοι.*

*Ἔρημον ἠγάπησας οἰκεῖν παμμάκαρ,*
*Θεῷ ὁμιλεῖν καταμόνας τῷ μόνῳ.*

**Ὁ Ὅσιος πατὴρ ἡμῶν Νικηφόρος, ὁ ἱδρυτὴς τὴν ἐν Χαρσιανῷ Μονῆς ἐν εἰρήνῃ τελειοῦται**

*Στίχοι.*

*Μονὴν ἐγείρας ἱερὰν Νικηφόρος,*
*Ἔσπευδεν εἶναι καὶ βίον νικηφόρος.*

**Ὁ Ὅσιος Πετρώνιος ἐν εἰρήνῃ τελειοῦται.**

*Στίχοι.*

*Πέτρᾳ στηριχθείς, Πετρώνιε, Κυρίου,*
*χαίρων μετέστης πρὸς ἀσάλευτον Πόλιν.*

**Οἱ Ἅγιοι δύο Παῖδες εἰς πῦρ κατὰ γῆς στρωθέν, τρέχειν ἀναγκασθέντες, τελειοῦνται.**

*Στίχοι.*

*Πῦρ ἁγίου Πνεύματος λαβόντες παῖδες,*
*Ἐμμανουὴλ τὸν Παῖδα τρέχοντες εὗρον.*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.*

*Ὠιδὴ ζ΄.Ἐν τῇ καμίνῳ.*

Ὡς ἐν καμίνῳ τῷ ὑπερῴῳ πυρσευόμενος,
θείου παρουσίᾳ Πνεύματος μυστικῶς,
ὁ Ἰάκωβος ἐβόησεν·

Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Ἡ ἐκ τοῦ ὕψους, πνοὴ βιαία τὸν Ἰάκωβον,
γλώσσῃ πυριμόρφῳ φθέγγεσθαι τοῦ Θεοῦ,
μεγαλεῖα παρεσκεύασεν·
Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Τῆς θεωρίας, τῆς πρακτικῆς σὺ ἐκτιθέμενος,
δέλτον ἐκ πυξίδος ὥσπερ πνευματικῆς,
τοὺς ἀνθρώπους ἐβελτίωσας·
Εὐλογημένος εἶ, ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

*Θεοτοκίον.*

Ὁ ἀναπλάσας, κόσμον ἐν μήτρᾳ σου, Θεόνυμφε,
θείας λειτουργίας δείκνυσι τελεστήν,
τὸν Ἰάκωβον κραυγάζοντα·
Εὐλογημένη σύ, ἐν γυναιξὶν ὑπάρχεις, Πανάμωμε.

*ἕτερος. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Τίς μή σε ἐπαινέσεικ
τίς μὴ μακαρίσει σε, θεῖε Ἰάκωβεκ
μητρὸς γὰρ τοῦ Κυρίου,
υἱὸς κατὰ τὸν νόμον,
ἐλογίσθης παμφίλτατος,
καὶ ἐλειτούργεις αὐτῇ ἐν καθαρᾷ καρδίᾳ.

Ἐτεθνήκεις τῷ κόσμῳ,
καὶ τὴν Ἰησοῦ περιέφερες νέκρωσιν,
ἀεὶ ἐν τῇ σαρκί σου,
ὡς ἂν καὶ ζωὴ τούτου,
ἐν αὐτῇ φανῇ, ἔνδοξε,
Ὧι καὶ ἐβόας θερμῶς,
Θεὸς εὐλογητός εἶ.
Ῥητορεύουσα γλῶσσα,

ῥυθμῷ καὶ μεθόδοις τῆς τέχνης βρενθύουσα,
οὐδόλως ἐξισχύει,
ἐγκώμιόν σοι πλέξαι,
θεοφόρε Ἰάκωβε,
σὺ γὰρ Χριστοῦ ἀδελφός,
ἐκλήθης ἐπαξίως.

*Θεοτοκίον.*

Ὅλος πλήρης ὑπάρχων,
ἀκενώτως, Πάναγνε, ἐν σοὶ κεκένωται,
Θεοῦ ὁ Θεὸς Λόγος,
πληρώματός τε τούτου,
ἡμεῖς πάντες μετέσχομεν,
καὶ ἐκβοῶμεν αὐτῷ,
Θεὸς εὐλογητός εἶ.

*Ὠιδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.*

Χεῖρας ἐκπετάσας κραταιάς,
τοὺς Ἀποστόλους σου, Σῶτερ, εὐλόγησας,
ἐπανερχόμενος Δέσποτα,
πρὸς τὸν ἄναρχον Πατέρα σου,
καὶ παρεσκεύασας αὐτούς,
μετ᾽ εὐφροσύνης βοᾶν·
Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὥσπερ ἐπηγγείλω ἀψευδῶς,
τοῖς, Ἀποστόλοις σου Πνεῦμα ἀπέστειλας,
τούτου Ἰάκωβος, Δέσποτα,
τῇ λαμπρότητι λαμπόμενος,
τὴν οἰκουμένην ἀστραπαῖς,
καταγλαΐζει φαιδρῶς, καὶ κραυγάζει·
Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Σοφίαν, Ἰάκωβε σοφέ,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὴν ἐνυπόστατον ἔσχες διδάσκαλον,
μυσταγωγοῦσάν σε ἄῤῥητα,
καὶ ἀνέκφραστα μυστήρια·
καὶ πρὸς εὐσέβειαν λαούς,
μέλπων διήγειρας·
Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

*Θεοτοκίον.*

Ὄρος ἐκφανθεῖσαν νοητόν,
Παρθένε ἄχραντε, Προφήτης βλέπει σε·
ἐκ σοῦ ὑπέρτιμος λίθος γάρ,
ἐκτμηθεὶς περιεσώσατο,
τὴν οἰκουμένην ἀληθῶς,
ἐνθέως ψάλλουσαν·
Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

*ἕτερος. Ἑπταπλασίως κάμινον,*

Νοῦν τοῦ Χριστοῦ πεπλούτηκας,
ἱεράρχα Ἰάκωβε,
οὐ τοῦ νοῦ ἐκείνου μεταβάντος, ἔνδοξε,
εἰς τὸν σὸν νοῦν καθ᾽ ὕπαρξιν,
οἷάπερ ἔφη Μάξιμος,
οὐδὲ τοῦ σοῦ νοῦ,
εἰς τὸν Χριστοῦ ἀμοιβαίως,
καὶ Χριστὸν δὲ πάντα,
καὶ νοῶν τε καὶ λέγων,
καὶ μετ᾽ αὐτοῦ ἓν Πνεῦμα,
ὑπάρχων, θεοφόρε.

Παμπόλλοις σε χαρίσμασιν,
ὁ Χριστὸς ἐστεφάνωσεν,
ἅλας γὰρ τῆς γῆς σε,
καὶ φῶς βροτοῖς ἔδειξεν,
ἀπόστολον μέγιστον,

καὶ ἱεράρχην πρώτιστον,
πόλιν ὑψηλὴν καὶ διαυγέστατον λύχνον,
φωτίζοντα τὸ σκότος,
οἰκουμένης ἁπάσης,
καὶ τελευταῖον πάντων,
μάρτυρα ἀληθείας.

Λαὸς ὁ σκληροτράχηλος,
Ἰουδαίων, Ἰάκωβε,
ἀπὸ ὑψηλοῦ,
τοῦ πτερυγίου βάλλει σε,
εἰς γῆν προσευχόμενον,
ὑπὲρ αὐτῶν καὶ λέγοντα,
Κύριε, αὐτοῖς,
τὴν ἁμαρτίαν μὴ στήσῃς,
καὶ ἄνω σε ἐκπέμπει,
εἰς σκηνὰς οὐρανίους,
μεθέξοντα τῆς δόξης,
Θεοῦ τοῦ ἀοράτου.

*Θεοτοκίον.*

Ἐν γενεαῖς μὲν γέγονε,
ταῖς ἀρχαίαις τεράστια,
ἀλλ’ ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη πώποτε,
τοιοῦτον τεράστιον,
οἷον ἐν σοὶ τετέλεσται,
Δέσποινα ἁγνή,
ἀσπόρως γὰρ συλλαμβάνεις,
ἀφθόρως ἀποτίκτεις,
καὶ παρθένος θηλάζεις,
τὸν τροφοδότην πάντων,
καὶ ποιητὴν τοῦ κόσμου.

*Ὠιδὴ θ΄.*
*Λίθος ἀχειρότμητος ὄρους.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δεῦτε τὸν πρωτόθρονον πάντες,
τῆς Ἐκκλησίας τὸν φωστῆρα,
ἱεροῖς Ἰάκωβον ὕμνοις,
ὡς ἱεράρχην καὶ θεῖον κήρυκα,
τὸν φερωνύμως Δίκαιον,
ὀνομασθέντα μεγαλύνωμεν.

Θείας κοινωνὸν ὡς φανέντα,
ἀτελευτήτου βασιλείας,
καὶ Θεοῦ κληρωθέντα ἀδελφόν,
καὶ πολιτείαν ἐπαληθεύουσαν,
προσηγορίᾳ δείξαντα,
σὲ μεγαλύνομεν,᾽ Ἰάκωβε.

Θρόνῳ παριστάμενος, μάκαρ,
στεφανηφόρος τῆς Τριάδος,
πίστει τοὺς τιμῶντάς σε πόθῳ,
τῶν ἀκηράτων κατατρυφῆσαι γερῶν,
ἀρχιερεῦ Ἰάκωβε,
τὸν σὸν Δεσπότην καθικέτευε.

*Θεοτοκίον.*

Σὺ τὸν ἐκ Παρθένου τεχθέντα,
ἀπειρογάμως, θεοφάντορ,
ταῖς μυσταγωγίαις σου σαφῶς Θεόν,
διδάσκεις σεσαρκωμένον Λόγον·
εἰς ὃν περ καὶ πιστεύοντες,
νῦν ἐπαξίως μεγαλύνομεν.

*ἕτερος. Ἐξέστη ἐπὶ τούτῳ.*

Κατέλιπες τὰς κάτω διατριβάς,
καὶ συνήφθης τοῖς ἄνω, Ἰάκωβε,
ὅπου χοροί,
ἀποστόλων θείων καὶ προφητῶν,

καὶ ἀθλητῶν ὑπάρχουσι,
καὶ πάντων Ἁγίων ὅπου ἡ σή,
βασίλισσα καὶ μήτηρ,
σὺν τῷ Υἱῷ καὶ Κτίστῃ,
εἰς τοὺς αἰῶνας βασιλεύουσιν.

Ὡς θῦμα καθαρόν τε καὶ ἱερόν,
ὁ Χριστὸς τὸ σὸν αἷμα ἐδέξατο,
ἐν οὐρανοῖς,
προσφορὰν ὡς ἄμωμον ἐκλεκτήν,
ὡς ἀρωματοσύνθετον,
μῦρον ὡς εὐπρόσδεκτον ἀπαρχήν,
διὸ καὶ βασιλείας,
αὐτοῦ τῆς αἰωνίου,
συγκληρονόμον σε εἰργάσατο.

Ἐνώπιον Τριάδος τῆς ἀρχικῆς,
παριστάμενος, θεῖε Ἰάκωβε,
καὶ τῆς σκηνῆς,
λειτουργὸς ὑπάρχων τῆς ἀληθοῦς,
θέσει θεὸς γενόμενος,
καὶ φωτὸς πληρούμενος τριλαμποῦς,
πρεσβεύεις ὑπὲρ πάντων,
τῶν σοὶ ὁμωνυμούντων,
καὶ εὐφημούντων σου τὴν ἄθλησιν.

*Θεοτοκίον.*

Ὑμνῶ σε τὴν Πανύμνητον ἀληθῶς,
μεγαλύνω σε τὴν πολυΰμνητον,
ἣν ἀνυμνεῖ,
ὕμνοις ἀσιγήτοις πᾶσα πνοή,
τεκοῦσαν ὑπερύμνητον,
Λόγον Ὃν ὑμνοῦσιν ἐν οὐρανοῖς,
χίλιαι χιλιάδες,
μύριαι μυριάδες,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐν φλογεροῖς ἀΰλοις στόμασιν.

*Ἐξαποστειλάριον.Ἦχος β΄. Τοῖς Μαθηταῖς.*

Ὡς Ἱεράρχης πρώτιστος,
τῆς Καινῆς Διαθήκης,
ὡς μέγιστος Ἀπόστολος,
ὡς σοφὸς ὑποφήτης,
καὶ μάρτυς ὢν ἀληθείας,
παρὰ πάντας πλουτήσας,
ἐξαίρετον ἀξίωμα,
ἀδελφὸς τοῦ Κυρίου,
νῦν πρὸς αὐτόν,
λίθοις ἀναιρούμενος μετετέθης·
παρ’Οὗ ἡμῖν, Ἰάκωβε,
λύσιν αἴτει πταισμάτων.

*Θεοτοκίον, ὅμοιον.*

Ἡ φοβερὰ τῆς κρίσεως,
καὶ μεγάλη ἡμέρα,
νῦν ἐπὶ θύραις ἕστηκεν·
ὅρα πρόσεχε νῆφε,
ψυχή μου, καὶ ἐκ καρδίας,
πρόσπεσον τῇ Παρθένῳ,
καὶ μόνῃ Θεομήτορι,
δάκρυσιν ἐκβοῶσα·
πάσης, Ἁγνή,
τιμωρίας ῥῦσαί με δυσωπῶ σε,
καὶ δεξιοῖς προβάτοις με,
σύνταξον τοῦ Υἱοῦ σου.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ παρόντα τρία προσόμοια στιχηρά, δευτεροῦντες τὸ πρῶτον.*
*Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τῶν εὐσεβούντων τὰ πλήθη,
νῦν ἱερὰν ἑορτήν,
χαρμονικῶς τελοῦντες,
ἀλαλάξωμεν πάντες,
πιστῶς ἀνευφημοῦντες, ψαλμοῖς καὶ ᾠδαῖς,
τὸν Θεάδελφον σήμερον,
καὶ μαθητὴν τοῦ Κυρίου, ὅστις ἀεί,
ἱκετεύει τοῦ σωθῆναι ἡμᾶς.

Τῆς κατὰ σάρκα Κυρίου,
ἐπιδημίας, σοφέ,
ἀδελφὸς ἀνεδείχθης,
μαθητὴς καὶ αὐτόπτης,
τῶν θείων μυστηρίων φυγὰς σὺν αὐτῷ,
ἐν Αἰγύπτῳ γενόμενος,
σὺν Ἰωσὴφ τῇ Μητρί τε τοῦ Ἰησοῦ,
μεθ' ὧν πρέσβευε σωθῆναι ἡμᾶς.

Τῶν Ἀποστόλων ὁ δῆμος,
σὲ ἐξελέξατο,
ἱερατεύειν πρῶτον,
ἐν Σιὼν τῇ ἁγίᾳ,
Χριστῷ τῷ εὐεργέτῃ ὡς ὄντα αὐτοῦ,
τῆς κατὰ σάρκα γεννήσεως,
καὶ ἀδελφὸν συνοδίτην καὶ ὀπαδόν,
τῶν ἰχνῶν αὐτοῦ, Ἰάκωβε.

*Δόξα. Ἦχος α΄.*
*Βυζαντίου.*

Ἐν τῇ πυρίνῃ αἴγλῃ τοῦ θείου Πνεύματος φωτισθείς,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῆς εὐσεβείας ὤφθης θεῖος ζηλωτής, Ἀδελφόθεε Ἰάκωβε·
ὅθεν καὶ στολήν σε νομικῆς ἱερωσύνης,
ὡς Ἀαρὼν τὸ πάλαι τιμιωτέραν ἐνέδυσεν,
ὁ δι᾽ οἶκτον εἰς ἀδελφότητα δεξάμενος.
Αὐτὸν ἱκέτευε, Ἀποστόλων ἔνδοξε,
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη,
καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα,
πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου,
σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

*Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.*
*Εἰς τὴν Θείαν λειτουργίαν, τὰ Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἀποστόλου ἡ γ' ᾠδὴ τοῦ α' κανόνος καὶ ἡ ς' ἐκ τοῦ δευτέρου.*
*Ἀπόστολος.*Ἀδελφοί, γνωρίζω ὑμῖν...*Ζήτει τῇ Κ' Κυριακῇ.*
*Εὐαγγέλιον κατὰ Μᾶρκον.*
Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν πατρίδα αὐτοῦ...
*Ζήτει τῇ γ᾽ τῆς ιε΄ Ἑβδομάδος τοῦ Ματθαίου.*

*Κοινωνικόν.*
Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ. Ἀλληλούϊα.

*Μεγαλυνάριον*

Κλήσει Ἀδελφόθεος πεφηνώς, Ἰάκωβε μάκαρ, τῶν ἀῤῥήτων μυσταγωγός, ἐν Σιὼν ἐδείχθης, καὶ πάθει σου τιμίῳ, τὸ ζωηφόρον πάθος, Χριστοῦ ἐδόξασας.

## Στίχοι

Τῆς κάτω Σιών, πρῶτε ἀρχιεράρχα,
πάντας ἡμᾶς πολίτας τῆς ἄνω δεῖξον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ